www.tezaurliturgic.ro

# ΔΕΚΕΜΒΡΙΟΥ ΚΓ΄
# ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΔΕΚΑ ΜΑΡΤΥΡΩΝ ΤΩΝ ΕΝ ΓΟΡΤΥΝΗ, ΤΗΣ ΚΡΗΤΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.

Ὕπνος ἐλογίσθη ὁ θάνατος, παρ᾿ ὑμῖν καὶ γλυκασμός, τῶν παθημάτων τὸ πικρόν, ἀπειλῶν ἡ αὐστηρότης, ὥσπερ ἔπαινος φαιδρός, βασάνων ἡ φθορὰ ὡς ὄλβος ἄσυλος, τοῦ ξίφους ἡ τομὴ ζωὴ αἰώνιος· πολλὴ ὑμῶν ἡ εὐστάθεια, καὶ πλείστη ὄντως ἡ εὔκλεια· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς καλέσωμεν Μάρτυρες; Ἀθλοφόρων καλλονήν, ὡς στεφανίτας ἱερούς· πληρωτὰς Εὐαγγελίου, ὡς θανόντας ἐν Χριστῷ· χρυσίον λαμπρυνθὲν χωνείᾳ θλίψεων· θαυμάτων ποταμοὺς ἰάσεις βρύοντας· πολλὰ ὑμῶν τὰ ἐγκώμια, καὶ μέγιστα τὰ χαρίσματα· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἅπασι πεπόνθατε μέλεσι· κεφαλῇ, ὅτι Χριστὸς ἐστεφανώθη ἐν αὐτῇ· ταῖς χερσὶ καὶ τοῖς ποσίν, ὅτι προσήλωται ἑκών· δι᾿ ὅλου ὅτι ὅλος μεμαστίγωται· τῷ λύθρῳ τὴν πλευρὰν ἐξεικονίσατε· διὸ αὐτῷ συνευφραίνεσθε, καὶ εἰς αἰῶνας συνήδεσθε· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἵνα τῆς ζωῆς ἐπιτύχητε, τοῦ θανάτου Ἀθληταί, κατεφρονήσατε στεῤῥῶς, καὶ χαρὰν διὰ τὰς θλίψεις, ἐκληρώσασθε σαφῶς, καὶ δόξαν ἀτιμίας ἀντειλήφατε, καὶ στέφος ἀντὶ πόνων ἀνεδήσασθε· καλὸν ὑμῶν τὸ ἐμπόρευμα καὶ κάλλιστον τὸ εὐτύχημα· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ἦχος β΄.
Κυπριανοῦ.

Κρήτη προεορτάζει σήμερον τὰ Γενέθλια Χριστοῦ, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων· διὸ εὐχαῖς

* Ἡ παροῦσα Ἀκολουθία τῶν ἁγίων δέκα Μαρτύρων τῶν ἐν Κρήτῃ μαρτυρησάντων ἠρανίσθη ἐκ διαφόρων πηγῶν, ἐντύπων τε καὶ χειρογράφων καὶ συνεπληρώθη ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη. Διὰ τὴν σύνταξιν ἐλήφθησαν ὑπ᾿ ὄψιν τὰ κάτωθι: α) Ἡ ἐν τῷ ἰσχύοντι Μηναίῳ τοῦ Δεκεμβρίου ἐλλιπὴς ἔκδοσις Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐν Ἀθήναις, 1993. β) Ἀκολουθία τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων δέκα Μαρτύρων τῶν ἐν Κρήτῃ ἀναιρεθέντων, ἐκδοθεῖσα ὑπὸ τοῦ Ῥεθύμνης Ἱλαρίωνος ἐν ταῖς «Ἀκολουθίαις» αὐτοῦ, ἐν Ἀθήναις, 1877, σελ. 141-151. γ) Ὁ ὑπ᾿ ἀριθμ. 837 (83) Κῶδιξ τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος, ὅστις περιέχει πλήρη Ἀκολουθία τῶν Ἁγίων. δ) Ὁ IV τόμος τῆς σειρᾶς Analecta Hymnica Graeca, Canones Decembris, Roma 1976, ἔνθα ἐν ταῖς σελίσι 577-622 δημοσιεύονται ὑπὸ τοῦ Ἀθανασίου Κομίνη Κανόνες τῶν Ἁγίων.

www.tezaurliturgic.ro



αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.
Τοῦ αὐτοῦ.

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον, τὸ θεῖον Σπήλαιον· ἐν ᾧ Χριστὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου Ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Συμμαχίᾳ τοῦ Πνεύματος, τοῦ Ἁγίου πανόλβιοι, πρὸς τὸν πολυμήχανον παρετάξασθε, καὶ κραταιῶς ἠριστεύσατε, αὐτὸν τροπωσάμενοι, ἀνὰ κράτος Ἀθληταί, καὶ τῆς νίκης τὸν στέφανον, ἐκομίσασθε, δεξιᾷ τοῦ Δεσπότου ἐπαξίως, ὡς γενναῖοι στρατιῶται, ὡς νικηταὶ ἀξιάγαστοι.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Ἀδαμάντινοι ὤφθητε, τὰς ψυχὰς γενναιότατοι· καὶ γὰρ οὐκ ἐφόβησαν αἱ ἀτίθασοι, ὑμᾶς τυράννων ὠμότητες, οὐδόλως κατέπτηξαν, τῶν ἀνόμων ἀπειλαί, οὔτε καὶ κατεδάμασαν, ξίφη τέμνοντα, ἢ δριμύτης βασάνων Ἀθλοφόροι, ἀλλ' ἐμείνατε ἑδραῖοι, ἐπὶ τὴν πέτραν τῆς πίστεως.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Ῥωμαλέαν διάνοιαν, σταθερόν τε τὸ φρόνημα, καὶ γενναίαν ἔνστασιν ἐπεδείξασθε, ἐν τῷ σταδίῳ καλλίνικοι, σαρκὸς μὴ φεισάμενοι, μηδὲ κάμψαντες γλυπτοῖς, γόνυ ἔνδοξοι Μάρτυρες, οὐ τὸν Κύριον, ἀρνησάμενοι· ὅθεν στεφανῖται, ἀνεδείχθητε θανόντες, ὑπὲρ αὐτοῦ προθυμότατα.

Δόξα Πατρί. Ἦχος β'.

Ἡ νῆσος τῆς Κρήτης, τιμᾷ ὑμῶν τὴν μνήμην, δέκα ἅγιοι Μάρτυρες· ἐν ταύτῃ γὰρ ἐβλαστήσατε, ἐν αὐτῇ καὶ τὸ τέλος, τοῦ μαρτυρίου ἐδέξασθε· καὶ διὰ τοῦτο Κρητῶν ἐστε τὸ καύχημα, Ὀρθοδόξων τὸ κλέος, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Καὶ νῦν. Προεόρτιον. Αὐτόμελον.
Κυπριανοῦ.

Οἶκος τοῦ Ἐφραθᾶ, ἡ Πόλις ἡ ἁγία, τῶν Προφητῶν ἡ δόξα, εὐτρέπισον τὸν οἶκον, ἐν ᾧ τὸ Θεῖον τίκτεται.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια Προεόρτια δ' καὶ τῶν Ἁγίων τὰ κάτωθι δ'.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ δεκὰς ἡ θεόλεκτος, καὶ λαμπὰς ἡ δεκάπυρσος, ἡ ταῖς θείαις λάμψεσι καταυγάζουσα, τῆς Ἐκκλησίας τὸ πλήρωμα, οἱ στῦλοι οἱ ἄσειστοι, οἱ ἀστέρες οἱ φαιδροί, οἱ τὴν γῆν οὐρανώσαντες, ταῖς λαμπρότησι, τῶν μεγίστων ἀγώνων ἐγκωμίοις, ἱεροῖς μεγαλοφώνως, ἀνευφημείσθωσαν σήμερον.

Εὐφημείσθω Θεόδουλος, Ζωτικός τε καὶ Πόμπιος, Βασιλείδης, Εὔπορος Ἀγαθόπους τε, καὶ Σατορνῖνος, Γελάσιος, καὶ θεῖος Εὐάρεστος, μεθ' ὧν Εὐνικιανός, νῦν τιμάσθωσαν ᾄσμασιν, οἱ πανεύδιοι, τῶν ἐν ζάλῃ λιμένες οἱ τὴν πλάνην, στηλιτεύσαντες καὶ στέφος, νικητικὸν κομισάμενοι.

Τὰ τῆς Κρήτης βλαστήματα, Ἐκκλησίας ἐρείσματα, καὶ πιστῶν ἀμάραντα ὡραΐσματα, τοῦ Παραδείσου ἡδύπνοα, τὰ ἄνθη τὰ τίμια, τὰ εὐπρόσδεκτα Χριστοῦ, καὶ τερπνότατα σφάγια, ἀναθήματα, οὐρανίου ναοῦ τε τὴν δεκάδα, τῆς Τριάδος τῆς Ἁγίας, τοὺς Ἀθλοφόρους ὑμνήσωμεν.

Τὸ δεκάριθμον σύνταγμα, τῶν Μαρτύρων ὑμνήσωμεν, τὸν σοφὸν Θεόδουλον Ἀγαθόπουν τε, καὶ Σατορνῖνον Γελάσιον, καὶ θεῖον Εὐάρεστον, μεθ' ὧν Εὐνικιανόν, Βασιλείδην καὶ Πόμπιον, καὶ τὸν Εὔπορον, Ζωτικόν τε τὸν μέγαν τοὺς τῆς Κρήτης, ἀντιλήπτορας καὶ πρέσβεις, ὑπὲρ αὐτῆς ἱκετεύοντας.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Δεῦτε πάντες οἱ πιστοὶ χαρμονικῶς ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν, τὴν δεκάριθμον χορείαν τῶν ἁγίων Μαρτύρων, τοὺς γενναίους ὁπλίτας καὶ τῆς ἀληθείας ἀγωνιστάς. Οὗτοι γὰρ οἱ λαμπροὶ Ἀθλοφόροι, ἐν μέσῳ τοῦ σταδίου, τὸν Χριστὸν Υἱὸν Θεοῦ, παῤῥησίᾳ ὡμολόγησαν· ὅθεν καὶ πρὸς αὐτοὺς ἐκβοήσωμεν λέγοντες· ἀστέρες φαιδρότατοι τῆς οἰκουμένης, καὶ περιφανῆ τῆς Κρήτης ἐγκαλλωπίσματα, χαίρετε μάρτυρες Χριστοῦ, Θεόδουλε καὶ Γελάσιε, Ζωτικέ τε καὶ Πόμπιε, Βασιλείδη καὶ Εὔπορε, Ἀγαθόπους καὶ Σατορνῖνε, Εὐάρεστε καὶ Εὐνικιανέ, οἱ πανεύδιοι τῶν ἐν ζάλῃ λιμένες, καὶ τὴν πλάνην στηλιτεύσαντες· ὡς ἔχον-

www.tezaurliturgic.ro



τες παῤῥησίαν πρὸς τὸν Κύριον, μὴ παύσησθε πρεσβεύοντες, τῷ Σωτῆρι καὶ Θεῷ ὑπὲρ ἡμῶν, τῶν ὑμνούντων τὴν ἱερὰν ὑμῶν ἄθλησιν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σιὼν πανηγύριζε· Ἱερουσαλὴμ εὐφραίνου. Πόλις Χριστοῦ τοῦ Θεοῦ, ὑπόδεξαι τὸν Κτίστην, ἐν σπηλαίῳ καὶ φάτνῃ χωρούμενον· ἀνοίξατέ μοι πύλας, εἰσελθὼν ἐν αὐταῖς. Ὄψομαι τὸν ὡς βρέφος σπαργανούμενον, καὶ τῇ δρακὶ συνέχοντα τὴν κτίσιν· ὃν ὑμνοῦσιν Ἄγγελοι, ἀκαταπαύστῳ φωνῇ, Ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ΄ 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾿ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε΄ 5-15, στ΄ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.
Κυρίλλου Ἱερομονάχου.

Σήμερον ἡμῖν, ἑορτὴ Μαρτύρων ἐφέστηκε, τῆς Δεσποτικῆς Θεοφανείας ὑπάρχουσα προοίμιον, καὶ συγκαλεῖ τὴν πάτριον, πᾶσαν ὁμοῦ ὁμήγυριν. Δεῦρο οὖν ὁ τῆς εὐάνδρου Κρήτης, νῦν ἅπας φιλομάρτυς λαός, τὴν δεκάδα τῶν Ἀθλοφόρων καταφαιδρύνων τοῖς ᾄσμασι, καὶ τῇ Χριστοῦ Γεννήσει ἐπεισόδιον, προσάγων αὐτῶν τὴν πανήγυριν, ὥσπερ δῶρον πολύτιμον, τῆς μαγικῆς δωροφορίας ἰσάξιον· ἵνα ταῖς πρεσβείαις αὐτῶν πρὸς Θεόν, ἄξιοι τῆς πρώτης τῶν Ἑορτῶν εὑρεθῶμεν, Χριστῷ ἀνακραυγάζοντες· ὁ ἐκ τῆς Παρθένου ἀνα-

www.tezaurliturgic.ro



τείλας τῷ κόσμῳ, Ἥλιος δικαιοσύνης νοητός, φιλάνθρωπε Κύριε δόξα σοι.

Ἦχος β΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ Κρήτῃ σήμερον τῶν Ἀθλοφόρων, ὢ φιλέορτοι· δεῦτε εὐφημήσωμεν αὐτούς, μυστικῶς ἐγκωμιάζοντες· χαίροις Πόμπιε, χαίροις Βασιλείδη, χαίροις Ζωτικέ, χαίροις Θεόδουλε, χαίροις Εὔπορε, χαίροις Ἀγαθόπους, χαίροις Σατορνῖνε, χαίροις Γελάσιε, χαίροις Εὐάρεστε, χαίροις Εὐνικιανέ, οἱ τῶν εἰδώλων τὴν πλάνην εἰς χάος βυθίσαντες, καὶ Χριστὸν τὸν Κύριον, ἐν μέσῳ τοῦ σταδίου τρανῶς κηρύξαντες. Διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσησθε πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.
Κυρίλλου Ἱερομονάχου.

Δεκὰς Μαρτύρων εὐκλεῶν, εἰς ἐνάδα μίαν συνεζευγμένη, καὶ ἑαυτῇ τὸν τέλειον ἀριθμὸν συμπληροῦσα, σήμερον εἰς εὐφημίαν πρόκειται. Οὗτοι γὰρ οἱ πολύαθλοι, τῆς σαρκὸς μὲν τὰ πάθη προκαταπαλαίσαντες, πρὸς δὲ τοὺς ἀφανῶς ἐπιβουλεύοντας, δαίμονας προπαραταξάμενοι, καὶ οὕτω ἑαυτοὺς προστομώσαντες, πρὸς μαρτυρίου ἀγῶνα ἐχώρησαν, ἐν ᾧ ξυστήρων καὶ τροχῶν, ὀβελίσκων τηγάνων τε ἀρθρεμβόλων, καὶ πάσης ἄλλης βασάνου ὀφθέντες ἀκμαιότεροι, τῇ σφαγῇ τὸν αὐχένα ὑπέθηκαν· διὸ καὶ τίμιος ὁ θάνατος αὐτῶν, ὡς ἔφη ὁ Προφητάναξ γενόμενος, τῆς τῶν Ἁγίων ἁπάντων συναυλίας, ἔνθα τὸ οὐράνιον πολίτευμα ὑπάρχει, ἐν δόξῃ καὶ τιμῇ κατηξιώθησαν, πρεσβεύοντες τῷ Κυρίῳ, ἐλεηθῆναι καὶ σῶσαι, τὰς ψυχὰς τῶν τιμώντων αὐτούς.

Ἦχος δ΄.

Στρατευθέντες τῷ Χριστῷ, τὰ ἐπὶ γῆς τερπνὰ κατελίπετε, καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ἄραντες, διὰ βασάνων πολυτρόπων, αὐτῷ ἠκολουθήσατε· καὶ ἐναντίον βασιλέων καὶ τυράννων πολλῶν, μὴ ἀρνησάμενοι αὐτόν, Ἄγγελοι τοῖς βραβείοις, τὰς κεφαλὰς ὑμῶν κατέστεψαν· πεπαῤῥησιασμένοι τῇ ψυχῇ, καὶ φαιδροὶ εἰς τὸν νυμφῶνα, τὸν μέγαν εἰσεληλύθατε, δεκὰς Μαρτύρων ἡ θεοσύλλεκτος· παῤῥησίαν ἔχοντες τῷ Σωτῆρι τῶν ὅλων, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. α΄.

Ἐπέλαμψεν ἡ εὐφρόσυνος πανήγυρις, τῶν δέκα Ἀθλοφόρων Χριστοῦ. Σήμερον γὰρ οὗτοι οἱ καλοὶ στρατιῶται, τοῦ οὐρανίου Βασιλέως πνευματικὴν χορείαν κροτήσαντες, ἀοράτως τὰς χάριτας νέμουσι, τοῖς πιστῶς ἀνευφημοῦσιν αὐτούς. Διὸ καὶ ἡμεῖς χαρμοσύνως, τὴν τούτων μνήμην ἑορτάσωμεν, ἵνα λάβωμεν δι' αὐτῶν, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ τὸ μέγα ἔλεος.

Ἦχος πλ. β΄.

Ἰδοὺ ἡμῖν ἐξέλαμψεν, ἡ ὀλόφωτος πανήγυρις, τῶν τοῦ Χριστοῦ Ἀθλοφόρων, ὡς φωστῆρας νοουμένους τούτους προβαλλομένη, τοῦ τῆς Ἐκκλησίας στερεώματος, φωτίζοντας τῶν πιστῶν τὰς διανοίας, καὶ τὰ νέφη τῶν παθῶν ἐκδιώκοντας· οἷς ἐν πίστει βοήσωμεν· χαίρετε στρατιῶται στεῤῥότατοι, τοῦ Βασιλέως τῶν ἄνω δυνάμεων, οἱ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους, τῇ πίστει τροπωσάμενοι, καὶ Χριστὸν τὸν φωτοδότην, ἐν τοῖς οἰκείοις μέλεσι δοξάσαντες, πρὸς ὃν πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος βαρύς.
Κυρίλλου Ἱερομονάχου.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, οἱ ἐν Κρήτῃ φιλομάρτυρες σήμερον, ἐπὶ τῇ μνήμῃ τῶν Ἀθλοφόρων. Οὗτοι γὰρ ἐν τῷ σταδίῳ ἀθλοῦντες, καὶ τῷ ξίφει τὰς κεφαλὰς ὑποβιβάζοντες, τὴν ἐφύμνιον ἐκείνην καὶ μακαρίαν, ᾠδὴν ἀνακρουόμενοι ἔλεγον· Γενέσθω δὴ Κύριε ἡ θυσία ἡμῶν, εὐπρόσδεκτος ἐνώπιόν σου· ὀσφράνθητι ὀσμὴν εὐωδίας αὐτῆς, καὶ ἀνενεχθείησαν αἱ ψυχαὶ ἡμῶν, δεκταὶ ἐπὶ τὸ σὸν θυσιαστήριον· ἐπεπόθησαν γὰρ αἱ ψυχαὶ ἡμῶν, ἐπὶ τὸ σωτήριόν σου Δέσποτα, καὶ ὑπὲρ σοῦ θάνατον ὡς σωτηρίου ποτήριον, οὐχ ὡς θάνατον λογιζόμεθα. Αὐτῶν ταῖς ἱκεσίαις, πολυεύσπλαγχνε Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. δ΄.
Τοῦ αὐτοῦ.

Δεῦρο σήμερον, τῶν Κρητῶν ἅπαν σύστημα, ἡλικία τε καὶ τάξις ἅπασα, τῶν ἱεροφόρων Μαρτύρων τὴν ὁμήγυριν, λαμπρῶς εὐφημήσωμεν κράζοντες· χαίροις χορὸς ἁγιόλεκτος, σύστημα θεοσύλλεκτον, καὶ δῆμος πανυπέρτιμος· χαίρετε ἄνδρες τοῦ Χριστοῦ, τὸ τῆς ἀρετῆς κάλλος ἀγλαῶς, ἐν ἑαυτοῖς ἐξεικονίσαντες· χαίρετε οἱ τὴν ἀξίαν ὁμότιμοι, καὶ τὴν προαίρεσιν ὁμόζηλοι, οἱ ἴσην τὴν πρὸς τυράννους ἀνδρείαν, καὶ τὴν ἔνστασιν ἐπιδειξάμενοι· χαίρετε οἱ μιᾷ περιπεφραγμένοι πανσευχίᾳ, τῇ πίστει τοῦ Σωτῆρος ἡμῶν, καὶ δι' αὐτῆς τὰ δαιμόνων στρατεύματα, εἰς τέλος νικήσαντες.

www.tezaurliturgic.ro



Ἀλλ' ὦ Χριστομάρτυρες ἀήττητοι, δεκὰς ἁγία καὶ πανολβία, φάλαγξ ἡ τὸν ἀθλοθέτην Κύριον, ἐν μέσῳ στρατιάρχον ἔχουσα, μεσιτεύετε ἀεὶ ὑπὲρ ἡμῶν, πρὸς τὸν δυνάμενον σῴζειν ἡμᾶς, ἐκ θανάτου καὶ ῥύεσθαι, ὡς μόνον τὸ ζῆν ἔχοντα ἀθάνατον.

Δόξα Πατρί. Ἦχος πλ. α΄.
Τοῦ αὐτοῦ.

Μαρτυρικὴ πανήγυρις ἐπέστη σήμερον, τῶν δέκα καλλινίκων Μαρτύρων, οἷς τῶν Κρητῶν ἁπάντων, συνεπαγάλλεται θρέμματα. Τούτοις ὦ ἀδελφοὶ εὐλαβῶς, καὶ ἡμεῖς πανηγυρίσωμεν, καὶ ἀθλητικοῖς ἀλλήλοις, ὑπαμείβοντες ᾄσμασι, χορεύσωμεν πάτρια· τούτους ζηλώσωμεν, τούτους ἐπαινέσωμεν, εἴπωμεν τοῖς ἱερονίκοις Ἀθληταῖς, τοῦ Κυρίου ἡμῶν εἴπωμεν· Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ὑμεῖς τὸ φῶς τοῦ κόσμου· ὑμεῖς τῆς ἀνωτάτης μάνδρας οἱ ἄρνες· ὑμεῖς οἱ λύχνοι, τοῦ φωτὸς τοῦ πρώτου ἀπαυγάσματα, τῆς ἐνεγκαμένης ἀκοίμητοι φρουροί, καὶ τῆς πατρίδος προασπισταὶ καὶ φύλακες· ἂν γὰρ εὐεκτῶμεν, δι' ὑμῶν τοῦτον λαβόντες ἔχομεν· ἂν εὐθηνῶμεν, τῶν ὑμετέρων εὐχῶν καὶ τοῦτον ἐπικαρπία· ἅνπερ ἐπέλθη τῶν ἀδοκήτων ἡμῖν τι, ταῖς ὑμετέραις θείαις ἐπικουρίαις, τὰς ἐντεῦθεν βλάβας ῥᾷστα διακρουόμεθα, δοξάζοντες Χριστὸν τὸν Θεόν, τὸν ἐν ὑψίστοις ὑμᾶς δοξάσαντα, καὶ τοῖς θαύμασι μεγαλύναντα, πόθῳ θερμῷ κραυγάζοντες· ὁ θαυμαστὸς ἐν τοῖς Ἁγίοις σου, Κύριε δόξα σοι.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν· ὄψει γὰρ τὸ τικτόμενον, ἐξ ἐμοῦ καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς Μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Δεῦτε μαρτυρικὴν ἀδελφοί, μετ' ἐγκωμίων ἀνυμνήσωμεν φάλαγγα, ταῖς στρέβλαις δοκιμασθεῖσαν, καὶ τοὺς τῆς πλάνης δεινούς, διαπύρῳ ζήλῳ καταισχύνασαν· δεκάριθμον σύνταγμα, ἱερώτατον ἄθροισμα, συνασπισμόν τε, ἀῤῥαγῆ καὶ ἀνίκητον, τοὺς τῆς Κρήτης τε, περιβόλους καὶ φύλακας, δέκα ἁγίους Μάρτυρας, στεῤῥῶς ἐναθλήσαντας, τῆς Ἐκκλησίας τοὺς πρέσβεις, τοὺς δυνατῶς ἱκετεύοντας, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Χαίροις ἡ τῶν Μαρτύρων δεκάς, ἡ τὰς αἰκίας καρτερῶς ὑπομείνασα, τῆς Κρήτης οἱ πολιοῦχοι, οἱ στρατιῶται Χριστοῦ, οἱ στεῤῥοὶ ὁπλῖται καὶ ἀπτόητοι· τὸν νοῦν εὐτονώτατοι, καὶ ψυχὴν ἀνδρειότατοι, τῷ ὄντι θεῖοι, καὶ Θεῷ ποθεινότατοι, χορὸς ἅγιος, θεοσύλλεκτον σύστημα· ἅγιοι δέκα Μάρτυρες, οἱ ἴσοι τὴν ἄθλησιν, ἴσοι τὴν γνώμην καὶ ἴσους, καὶ τοὺς στεφάνους δεξάμενοι. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Χαίροις τροπαιοφόρος δεκάς, ἡ ἐν βασάνοις ἀνδρικῶς καρτερήσασα, ἀστέρες οἱ διελθόντες, διὰ βασάνων πολλῶν, καὶ ἀθέων πλάνην στηλιτεύσαντες, οἱ Κρήτην φαιδρύναντες, τοῖς σεπτοῖς ὑμῶν αἵμασι, νῦν δ' ἐν ἀγέλαις, τῶν Μαρτύρων θαλπόμενοι, οἱ χορεύοντες, σὺν Ἀγγέλων στρατεύμασιν· ἅγιοι δέκα Μάρτυρες, τὰ ἄνθη τὰ πνέοντα, τὴν εὐωδίαν τῆς ὄντως, πνευματικῆς διαθέσεως. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος γ΄.

Προεόρτιος σήμερον ἡ τῶν Μαρτύρων ἐπέστη ἑορτή, τὴν Γενέθλιον ἡμῖν, προϋπογράφουσα ἡμέραν· τὸν ἐξ Ἡλίου Ἥλιον, τὸν ἐκ τῆς Παρθένου Θεόν, ἐπιφανέντα σαρκὶ ἀνακηρύττουσα. Δεκὰς Μαρτύρων ἐν Κρήτῃ, στεῤῥῶς ἀθλήσασα, τοὺς στεφάνους τῆς νίκης, ἐξ οὐρανοῦ ἐδέξαντο· πρὸς οὓς βοήσωμεν· χορὸς ἁγιόλεκτος, ἱκετεύσατε Χριστὸν ἅγιοι Μάρτυρες, ὑπὲρ τῶν πίστει τελούντων, τὴν πάνσεπτον μνήμην ὑμῶν.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.
Ἀνατολίου.

Εὐτρεπίζου Βηθλεέμ, ἤνοικται γὰρ ἡ Ἐδέμ· ἑτοιμάζου Ἐφραθᾶ, ἀνανεοῦται γὰρ ὁ Ἀδὰμ καὶ ἡ Εὔα σὺν αὐτῷ· ἡ κατάρα γὰρ λέλυται· ἡ σωτηρία ἐν κόσμῳ ἐξήνθησε· καὶ ψυχαὶ τῶν Δικαίων εὐτρεπίζονται, ὡς προῖκα δωροφορίας, ἀντὶ μύρου τὸν ὕμνον προσάγουσαι, σωτηρίαν ψυχῆς, καὶ ἀφθαρσίαν κομιζόμεναι. Ἰδοὺ γὰρ ἐν φάτνῃ ἀνακείμενος, προτρέπει ὑμνῳδίαν πνευματικὴν ἐπιτε-

www.tezaurliturgic.ro



λέσαι, τοὺς βοῶντας ἀπαύστως· Κύριε δόξα σοι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν πολυθαύμαστον, Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν, ἄνθη τὰ τίμια, τοὺς μαργαρίτας τοῦ Χριστοῦ, Μαρτύρων τοὺς ἀκρέμονας· δέκα γὰρ ὑπάρχοντες, ἀριθμῷ οἱ μακάριοι, δύναμιν μυριόπλον, τῶν δαιμόνων κατήσχυναν· διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο, Μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

Ἕτερον. Ὅμοιον.

Κρήτης τὰ τίμια, ἄνθη ὑμνήσωμεν, καὶ μακαρίσωμεν, πάντες ἐν ᾄσμασιν, ὡς μαργαρίτας τοῦ Χριστοῦ, καὶ Μάρτυρας θεοφόρους, Πόμπιον, Εὐάρεστον, Σατορνῖνον, Θεόδουλον, Εὔπορον, Γελάσιον, Ζωτικὸν Βασιλείδην τε, σὺν Εὐνικιανῷ Ἀγαθόπουν, ὅπως εὐχαῖς τούτων φρουρώμεθα.

Ἕτερον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.
Εὐαγγέλου Ἱερέως.

Θεόδουλον μέλψωμεν, καὶ Σατορνῖνον ὁμοῦ, Εὐάρεστον Πόμπιον, Γελάσιον Ζωτικόν, κλεινὸν Ἀγαθόπουν τε, Εὔπορον Βασιλείδην, τοὺς Χριστοῦ Ἀθλοφόρους, σὺν Εὐνικιανῷ, ἀξιοχρέως τιμῶντες· αὐτῶν Χριστὲ πρεσβείαις, πάντας ἐλέησον.

Προεόρτιον. Ἦχος δ'.

Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεβάλετε στεῤῥῶς, τῇ πανοπλίᾳ τοῦ Χριστοῦ, τὸν ἀντίπαλον ἐχθρόν, ἅμα τοῖς τούτου ὑπουργοῖς, τὸν δὲ Σωτῆρα ἐν μέλεσι τοῖς οἰκείοις, Μάρτυρες σοφοί, ἐδοξάσατε· ὅθεν παρ' αὐτοῦ, ἐδοξάσθητε, πᾶσι πιστοῖς πηγάζοντες ἰάσεις, ψυχῆς ὁμοῦ τε καὶ σώματος· διὸ τοῖς πίστει, ὑμᾶς τιμῶσι, ῥῶσιν θείαν βραβεύσατε.

Δόξα Πατρί. Ἦχος α'. Τὸν τάφον σου.

Τῆς Κρήτης οἱ λαμπροί, καὶ σεπτοὶ πολιοῦχοι, ἀθλήσαντες στεῤῥῶς, ἐτροπώσαντο πίστει, τὸν ὄφιν τὸν ἀρχέκακον, καὶ νομίμως ἐστέφθησαν· τούτων σήμερον, τὴν ἀξιέπαινον μνήμην, ἑορτάζοντες, μεγαλοφώνως τὸν πάντων, δοξάζομεν Κύριον.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.
Κυρίλλου Ἱερομονάχου.

Προγράφουσα ἡμῖν, τῶν Χριστοῦ Γενεθλίων, ἡμέραν τὴν φαιδράν, καὶ σωτήριον κόσμῳ, ἡ μνήμη ἐπέφανε, προεόρτιος σήμερον, ὦ φιλέορτοι, τῶν δεκαρίθμων Μαρτύρων, ἣν τελέσωμεν, δεῦτε ἐν ὕμνοις συμφώνως, Θεὸν μεγαλύνοντες.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἱερῶς ἐναθλοῦντες οἱ ἱεροί, Ἀθλοφόροι Κυρίου τοὺς αἰκισμούς, τὰς ξέσεις τοῦ σώματος, καὶ τὸν βίαιον θάνατον, ἀδιστάκτῳ πίστει, ἀνδρείως ὑπέμειναν, καὶ τοῦ ἐχθροῦ τὸ θράσος, τελείως κατέβαλον. Ὅθεν ἰαμάτων, δωρεὰν εἰληφότες, ἰῶνται τοὺς κάμνοντας, καὶ λυτροῦνται κακώσεως, τοὺς βοῶντας ἑκάστοτε· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα Πατρί. Ἦχος γ'. Θείας πίστεως.

Ἄνθη τίμια, τῆς Κρήτης ὄντως, πύργοι ἄσειστοι, τῆς εὐσεβείας, ἀνεδείχθητε Μάρτυρες ἔνδοξοι, ἐν τῇ ἀθλήσει τὸν βίον φαιδρύναντες, ὑπὲρ Χριστοῦ τε τὸ αἷμα ἐκχύσαντες· δέκα Μάρτυρες, Χριστὸν τὸν Θεὸν αἰτήσασθε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.
Κυρίλλου Ἱερομονάχου.

Ὡς προοίμιον, τῶν Ἀθλοφόρων, ἡ σεβάσμιος, σήμερον μνήμη, τῶν Χριστοῦ Γενεθλίων ἀνέτειλε, ἣν ὁμοθύμως φιλέορτοι ἄγοντες, ἐν κατανύξει καρδίας βοήσωμεν· Σῶτερ λύτρωσαι, ἡμᾶς ἐξ ἐχθρῶν καὶ θλίψεων, τῶν δέκα Μαρτύρων σου δεήσεσι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ καὶ ὁπλίτας, τοὺς ἐναθλήσαντας στεῤῥῶς ἀνυμνοῦμεν, τοὺς ἐν τῇ Κρήτῃ λάμψαντας, ἀστέρας φαεινούς, δέκα ἰσαρίθμους τε, ἐντολῶν τοῦ Κυρίου· οὗτοι γὰρ πρεσβεύουσιν, ἐκτενῶς τῷ Δεσπότῃ, ἵνα ῥυσθῶμεν πόνων καὶ κακῶν, τὴν τούτων μνήμην οἱ πόθῳ γεραίροντες.

Δόξα Πατρί. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἀρετῶν ταῖς ἰδέαις, καταστραπτόμενοι, μαρτυρίου τῷ φέγγει, ὡραϊζόμενοι, ὑπὲρ ἥλιον ἠστράψατε πολύαθλοι, περιφρουροῦντες ἀληθῶς, τοὺς ἐκτελοῦντας τὴν ὑμῶν, πανήγυριν ἀθλοφόροι, ἅγιοι Μάρτυρες δέκα, καὶ προσκυνοῦντας ὑμῶν τὰ λείψανα.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Βηθλεὲμ ἑτοιμάζου, τὰ πρὸς ὑπάντησιν, τῆς Παρθένου Μαρίας, καὶ Θεομήτορος· ἰδοὺ γὰρ ἔρχεται πρός σέ, ἔμβρυον φέρουσα, τὸν συνάναρχον Πατρί, καὶ τῷ Πνεύματι ἀεί, Χριστὸν ὃν ἐν τῷ σπηλαίῳ, γεννήσει καὶ μετὰ τόκον, Παρθένος πάλιν ὀφθήσεται.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος..

Εὐαγγέλιον, ζήτει τῇ κγ' Ἀπριλίου.

Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τῶν Ἀθλοφόρων... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β'.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Κομπάζει σήμερον ἡ νῆσος Κρήτη, ἐπὶ τῇ μνήμῃ ὑμῶν Ἀθλοφόροι, πολιούχους ὑμᾶς εὐμοιρήσασα, καὶ πρὸς Θεὸν πρεσβευτάς, καὶ γηθομένη βοᾷ εὐχαρίστως· χαίρετε Θεόδουλε καὶ Ζωτικέ, Βασιλείδη καὶ Εὔπορε, Σατορνῖνε καὶ Γελάσιε, Εὐνικιανὲ καὶ Ἀγαθόπους, Πόμπιε καὶ Εὐάρεστε· ὡς ἔχοντες παῤῥησίαν πρὸς Θεόν, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ προεόρτιος Κανὼν καὶ οἱ Κανόνες τῶν Μαρτύρων. Κανὼν πρῶτος τῶν Μαρτύρων, ἄνευ Ἀκροστιχίδος. Ποίημα τοῦ ἁγίου Ἀνδρέου Κρήτης.

Ὠδὴ α'. Ἦχος γ'. Ἄσωμεν τῷ Κυρίῳ.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ συνάψαντι τοὺς ἁγίους Μάρτυρας, τῇ ἀμωμήτῳ πίστει, καὶ τούτους ὁπλίσαντι, ἐν μιᾷ τῇ ἐλπίδι, κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ, καὶ τῷ συνδέσμῳ πάντας αὐτούς, τῆς ἀγάπης ἑνώσαντι.

Οἱ ἀπλανεῖς ἀστέρες, τοῦ νοητοῦ Ἡλίου, ὡς ἐξ Ἑῴας λάμψαντες, τὸν τοῦ ἀστέρος δρόμον, πιστῶς προηγήσαντο, τοῦ Χριστοῦ γεννηθέντος, ἑορτὴν προεισόδιον, τὴν μνήμην τῆς αὐτῶν τελευτῆς, φαιδρῶς προσενέγκαντες.

Οἱ ἐκ Περσίδος Μάγοι, ἐν Βηθλεὲμ τεχθέντι, δῶρα Χριστῷ προσήγαγον· νῦν δὲ οἱ Ἀθλοφόροι, ὡς σμύρναν τὰ αἵματα, χρυσὸν δὲ τὴν πίστιν, ὡς λίβανον τὰ πνεύματα, θυσίαν προεόρτιον, τῷ τεχθέντι προσήνεγκαν.

Τῇ Θεοδούλου πίστει, καὶ Ζωτικοῦ ἀγάπῃ, συνεκράθη Πόμπιος, καὶ Σατορνῖνος ἅμα, καὶ συνεστεφάνωται Εὔπορος, Ἀγαθόπους Γελάσιος, Εὐάρεστος καὶ Εὐνικιανός, σὺν αὐτοῖς καὶ Βασιλείδης ὁ σύναθλος.

Ἀθλητικὴν ἀνδρείαν, δογματικὴν σοφίαν, οἱ νικηφόροι Μάρτυρες, ἐπὶ τῶν παλαμναίων, στεῤῥῶς ἐπεδείξαντο, κατὰ τῆς ἀσεβείας· διὸ καὶ κατ' ἀξίαν αὐτούς, ἡ χάρις ἐστεφάνωσεν, ὡς νομίμως ἀθλήσαντας.

Ἱερομύστα Τίτε, καὶ θεοφόρε Κάρπε, οἱ ἀκλινεῖς θεμέλιοι, τῆς Κρητῶν ἐπαρχίας, Θεῷ παριστάμενοι, σὺν πολλῇ παῤῥησίᾳ, ὑπὲρ ἡμῶν δεήθητε, σὺν τοῖς ἁγίοις Μάρτυσι, κινδύνων λυτρωθῆναι ἡμᾶς.

Ὢ μακαρία Κρήτη, ἡ θησαυροὺς ἐμψύχους, τοὺς νικηφόρους Μάρτυρας, εἰς ἓν συναγα-

www.tezaurliturgic.ro



γοῦσα, καὶ πλοῦτον ἀνέκλειπτον, τούτους ἀποθεμένη, πολίτας καὶ οἰκήτορας, καὶ ἰατρεῖον ἄμισθον, καὶ κλέος ἀναφαίρετον.

Τριαδικόν.

Ἡ ὑπὲρ νοῦν οὐσία, ἀμέριστος τρισὶν ὑποστάσεσι, διαιρετῶς ὑμνεῖται, μιᾷ δὲ Θεότητι, ἁπλῶς ἀδιαιρέτως· Τριὰς γὰρ ἡ αὐτὴ καὶ Μονάς, ἁπλῆ καὶ ἀδιαίρετος, ἐστὶ καὶ ὀνομάζεται.

Θεοτοκίον.

Ἐν Βηθλεὲμ γεννᾶται, καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ ἐκ Παρθένου Κύριος, τεχθεὶς ἀνερμηνεύτως. Φάτνη ἑτοιμάζεται, καὶ Σπήλαιον τῷ Κτίστῃ. Μάγοι εὐτρεπίζουσι τὰ δῶρα, τῷ Δεσπότῃ Θεῷ, καὶ Ἀστὴρ προκηρύττει τὸ φῶς.

Κανὼν δεύτερος τῶν Μαρτύρων, οὗ ἡ Ἀκροστιχὶς κατ' Ἀλφάβητον, πλὴν τῶν Θεοτοκίων φερόντων Ἀκροστιχίδα τήνδε· «Γεωργίου». Ποίημα τοῦ Νικομηδείας Γεωργίου.

Ἦχος α'. Χριστὸς γεννᾶται.

Ἀχρόνως ἐκ προανάρχου Πατρός, ἀρχὴν λαβὼν Υἱὸς τὴν ὑπέρχρονον, ἀρχὴν ὑπὸ χρόνον δέχεται, Κόρης ἐξ ἀπειράνδρου, τὴν καθ' ἡμᾶς, δι' οἰκονομίαν, ὡς εὐδόκησεν αὐτός, σῶσαι βουλόμενος.

Βροτὸν δι' οἶκτον γενόμενον, τὸν Πλάστην τοῦ βροτείου φυράματος, χορὸς Ἀθλητῶν δεκάριθμος, μόνον ὁμολογοῦντες, ὄντα Θεόν, σεσωματωμένον, οὐκ ἐφείσαντο σαρκῶν, γνώμης στεῤῥότητι.

Γαστρὸς ἀσπόρου βλαστήσαντα, Θεὸν μετὰ σαρκὸς καταγγέλλοντες, σωμάτων φθαρτῶν ἠλόγησαν, δέκα συστρατιῶται, καὶ πρὸς αὐτόν, ἔσπευσαν ποθοῦντες, τῆς ἀφθάρτου βιοτῆς, διὰ θανάτου τυχεῖν.

Θεοτοκίον.

Γνωστὸς ὁ Ἄγνωστος γίνεται, ὁ Ἄχρονος ἀρχὴν ἤδη δέχεται, ὁ Λόγος σαρκοῦσθαι ἄρχεται, Κόρης ἐξ ἀπειράνδρου, οὗ τὸν σεπτόν, τόκον προσκυνοῦντες, προεόρτιον αὐτῷ, ὕμνον προσάξωμεν.

Καταβασία. Χριστὸς γεννᾶται.

Κανὼν πρῶτος. Ὠδὴ γ'. Ἐστερεώθη ἡ καρδία μου.

Ἀθλητικὸν παγκράτιον οἱ γενναῖοι, τοῦ Χριστοῦ διήνυσαν Ἀθλοφόροι, τῶν διωκτῶν τὴν ἀπόνοιαν καταπαλαίσαντες.

Οἱ νοεροὶ φωστῆρες τῆς Ἐκκλησίας, λογικὰς ἀστράπτοντες λαμπηδόνας, τὴν ἀβλεψίαν φωτίζουσι τῶν καρδιῶν ἡμῶν.

Ὁ στερεώσας Κύριε τοὺς Ἁγίους, ἐνεγκεῖν ἀφόβως τὰς ἀλγηδόνας, ῥῦσαι κινδύνων καὶ θλίψεων τοὺς ὑμνοῦντάς σε.

Ὠφρυωμένης πάλαι τῆς ἀσεβείας, ὡς στεῤῥοὶ ὁπλῖται τῆς εὐσεβείας, ἀθλητικῶς παρετάξαντο οἱ Χριστομάρτυρες.

Οἱ τὴν δεκάδα λείπουσαν τῶν παρθένων, εἰς διπλῆν πεντάδα λαμπαδηφόρον, ἀναπληρώσαντες Μάρτυρες ἐστεφανώθητε.

Οἱ τὴν ψυχὴν ἀήττητοι καὶ τὸ σῶμα, πρὸς τυράννους ἔστησαν κακουργοῦντας, καὶ τῇ σαρκὶ θανατούμενοι ἔζων τῷ πνεύματι.

Ὡς νοεροὶ λιμένες τῶν ἐν θαλάσσῃ, τῆς τοῦ βίου ζάλης κυμαινομένης, τὴν ἑαυτῶν διασῴζουσι νῆσον οἱ Ἅγιοι.

Ὡς ἐκ πυρὸς σπινθῆρες οἱ Ἀθλοφόροι, μυστικῶς ἀνάψαντες δᾳδουχοῦσι, τῆς Ἐκκλησίας τὸ πρόσωπον ἐν τῇ ἀθλήσει αὐτῶν.

Τριαδικόν.

Σεραφικῶς ὑμνήσωμεν τὴν Τριάδα, σὺν Ἀγγέλοις κράζοντες ἀσιγήτως· Ἅγιος Ἅγιος Ἅγιος ἡ Τριὰς καὶ Μονὰς ὁ Θεός.

Θεοτοκίον.

Τῆς Τριάδος τὸν ἕνα ἐν τῇ γαστρί σου, δεξαμένη ἄχραντε Θεοτόκε, ἀνερμηνεύτως ἐκύησας ὡς οἶδε μόνος αὐτός.

Κανὼν δεύτερος. Τῷ πρὸ τῶν αἰώνων.

Δόξα ἐν ὑψίστοις, μετ' Ἀγγέλων πιστοὶ νῦν βοήσωμεν· ἐπὶ τῆς γῆς γὰρ εὐδοκία, ἐν ἀνθρώποις εἰρήνη· Χριστὸς ἰδοὺ παραγίνεται, ᾧ προεόρτια δῶρα πιστῶς, ὕμνους προσενέγκωμεν.

Ἐπὶ σωτηρίᾳ, τῶν βροτῶν ἐρχομένῳ τεχθῆναι σαρκί, τῷ βασιλεῖ Θεῷ τῶν ὅλων, προσηνέχθη Μαρτύρων, στρατὸς σύνταγμα δεκάριθμον, ᾧ προεόρτια δῶρα αὐτῷ, σπείσαντες τὰ αἵματα.

Ζωηφόρον μύρον, ὑπὲρ τῆς ψυχοφθόρου προκρίνας ζωῆς, στρατὸς δεκάριθμος Μαρτύρων, ἀντηλλάξατο πίστει, φθαρτῶν ἀληθῶς τὰ ἄφθαρτα, καὶ τῶν προσκαίρων καὶ ὄντως ῥευστῶν, ὄντως τὰ

www.tezaurliturgic.ro



αἰώνια.

Θεοτοκίον.

Ἔρχεται ὁ Πλάστης, ἐκ Παρθένου τὸ πλάσμα τὸ ἴδιον, καταφθαρὲν τῇ παραβάσει, βουληθεὶς ἀναπλάσαι, καινὴν καὶ θείαν ἀνάπλασιν· τὸ γὰρ εὖ εἶναι χαρίζεται νῦν, ὁ τὸ εἶναι δοὺς ἡμῖν.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν Μαρτύρων τὰ ἆθλα κατανοεῖν, καὶ στεφάνων τὰ γέρα προθεωρεῖν, προθύμως ἐξωρμήσατε, πρὸς ἀγῶνας καὶ σκάμματα, τῆς ἀθλήσεως πόθῳ, Χριστοῦ τοῦ παντάνακτος, ὑποστάντες γενναίως, τῶν πόνων δριμύτητα, τὸν ὄφιν ἐκτείνατε, ἡ δεκὰς ἡ πανένδοξος· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν, δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα Πατρί. Ὅμοιον.

Ἀναλάμψαντες γνώσει τῇ θεϊκῇ, ὡς ἀστέρες τὴν κτίσιν πᾶσαν ἀεί, φωτίζετε Μάρτυρες, ταῖς τῶν ἄθλων λαμπρότησι, τῶν δαιμόνων τὸ σκότος, μακρὰν ἀπελαύνοντες, καὶ παθῶν ὁμίχλην, ἐξαίροντες πάντοτε· ὅθεν τὴν φωσφόρον, καὶ σεπτὴν ὑμῶν μνήμην, καρδίας εὐθύτητι, ἑορτάζομεν χαίροντες, καὶ βοῶμεν γηθόμενοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός. Τὸ προσταχθὲν μυστικῶς.

Τῶν Γενεθλίων τοῦ Χριστοῦ τὰ προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἀξίως ἅπαντες προϋπαντήσωμεν, ὡς Μάγοι δωροφοροῦντες τὰς ἀρετάς, καὶ ᾄδοντες τῶν Ἀγγέλων ᾆσμα καινόν, τῷ ἐκ Κόρης θεόπαιδος, ἐν Βηθλεὲμ ἄνευ σπορᾶς, τικτομένῳ Θεῷ ἡμῶν· ὃν δοξάζει τὰ σύμπαντα.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Εἰσακήκοα τὴν ἀκοήν.

Προεόρτιος, ἡ τῶν Μαρτύρων ἐπέστη μνήμη, τὴν Γενέθλιον προγράφουσα, ἑορτὴν τοῦ Σωτῆρος.

Τὰ προαύλια, τῆς τοῦ Σωτῆρος Ἐπιφανείας, τῶν Μαρτύρων ἡ ἐτήσιος, προανέῳξε μνήμη.

Ἡ δεκάπυρσος, τῶν Ἀθλοφόρων λαμπὰς ἀνήφθη, τὸν ἀστέρα προμηνύουσα, τοῦ Χριστοῦ γεννηθέντος.

Ὑπερόβρυζοι, ἐν τῇ χωνείᾳ τῶν ἀλγηδόνων, ἀνεδείχθησαν οἱ Ἅγιοι, ὡς χρυσὸς ἐν καμίνῳ.

Δῆμος ἅγιος, δεκὰς Μαρτύρων στεφανηφόρων, ἀνεδείχθητε ἀήττητοι, τῆς Τριάδος ὁπλῖται.

Κατεπάτησαν, τὴν τῶν εἰδώλων ματαίαν πλάνην, οἱ λατρεύσαντες δι' αἵματος, τὴν Ἁγίαν Τριάδα.

Θεοτοκίον.

Μῆτερ Ἄχραντε, εὐλογημένη ἁγνὴ Παρθένε, τοὺς ὑμνοῦντάς σε περίσῳζε, ἀπὸ πάσης ἀνάγκης.

Εἱρμὸς ἄλλος. Τί ἐξέστη Ἀββακούμ.

Ἡ πολύφωτος λαμπάς, τῶν Ἀθλοφόρων ἡ δεκάς, τὴν τοῦ Χριστοῦ Γέννησιν ἡμῖν, σαφῶς προοιμιάζεται, καὶ τὴν ἄθλησιν ἑαυτῆς, ἱερομηνίας σάλπιγγι, σαλπίζει πάσῃ τῇ γῇ.

Τῶν Μαρτύρων ἡ δεκάς, δύο φωσφόρους ἑορτάς, τὴν τοῦ Χριστοῦ Γέννησιν ἡμῖν, ἐνθέως προκηρύττουσα, καὶ τὴν ἄθλησιν ἑαυτῆς, προϋποφαίνουσα, διττῶς εὐφραίνει ἡμᾶς.

Ἐθωράκισεν ὑμᾶς, ἡ Ὑπερούσιος Τριάς, τοὺς κραταιοὺς Μάρτυρας αὐτῆς, ὡς κράτος τὴν εὐσέβειαν, τὸν Σταυρὸν δὲ ὡς θυρεόν, καὶ ὡς πανοπλίαν, τὴν καρτερίαν ὑμῶν.

Τριαδικόν.

Τρισυπόστατε Μονάς, καὶ Ὑπερούσιε Τριάς, ῥῦσαι ἡμᾶς πάσης ἀπειλῆς, πρεσβείαις τῶν Ἁγίων σου, καὶ ἁγίασον τοὺς πιστῶς, σὲ θεολογοῦντας, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Θεοτοκίον.

Τοῦ Ποιμένος ἡ ἀμνάς, καὶ τοῦ Ἡλίου ἡ λαμπάς, ἐν Βηθλεὲμ τίκτουσα τὸ φῶς, ποιμένας συνεκάλεσε, καὶ Ἀγγέλους πλήρεις φωτός, Μάγους μετὰ δώρων δέ, θεολογοῦντας Χριστόν.

Κανὼν δεύτερος. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ἥλιος νεφέλης φωτεινῆς, ἀνίσχειν ἐπειγόμενος, συνανατέλλοντας ὑπέδειξεν, ὥσπερ ἀστέρας φαιδρούς, δεκαρίθμους Μάρτυρας, ζόφον τὸν τῆς πλάνης ἐκμειοῦντας, ἀκτῖσι τῆς εὐσεβοῦς, πίστεως ἐν αἷς φωτιζόμεθα.

www.tezaurliturgic.ro



Θώρακα τῆς πίστεως στεῤῥῶς, γενναῖοι ἐνδυσάμενοι, ὅπλῳ Σταυροῦ τε συμφραξάμενοι, καὶ ῥῆμα τὸ πανσθενές, τοῦ Θεοῦ σπασάμενοι, δίστομον ὡς μάχαιραν πρὸς πάλην, ἀντέστητε τοῦ ἐχθροῦ, νίκην κατ' αὐτοῦ ἀπηνέγκατε.

Ἴδον οὐρανῶν αἱ στρατιαί, τὴν μάχην καὶ ἐξέστησαν, τὸν ξένον πόλεμον θαυμάζοντες· γυμνοὶ καὶ ἄοπλοι γάρ, οἱ γενναῖοι Μάρτυρες, πρὸς τοὺς ὁρατοὺς καὶ ἀοράτους, παραταξάμενοι ἐχθρούς, τούτους κατὰ κράτος ὠλέσαντο.

Θεοτοκίον.

Ὡς ἐπὶ νεφέλης φωτεινῆς, Παρθένου ἐποχούμενος, ἐπὶ τοῦ θρόνου ὁ καθήμενος, τῆς δόξης τῆς θεϊκῆς, γεννηθῆναι ἔρχεται, σῶσαι βουληθεὶς φθορᾶς θανάτου, τοὺς μελῳδοῦντας αὐτῷ· Δόξα τῇ δυνάμει σου Κύριε.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην.

Τὸν ἐξ Ἡλίου Ἥλιον, Χριστὸν οἱ Μάρτυρες, ἐκ τῆς Παρθένου ἡμῖν ἐπιφανέντα σαρκί, κηρύττουσι τῷ κόσμῳ, τῇ ἀθλήσει τῆς σεπτῆς ὁμολογίας αὐτῶν.

Τίτου καὶ Κάρπου κλήματα, ὤφθητε Μάρτυρες, ὡς ἐκ τῆς Παύλου φυτείας ἀναθάλλοντες, καρποὺς ὁμολογίας, ἐκ χειλέων τῷ Χριστῷ προσενέγκαντες.

Οἱ τῆς εἰρήνης τρόφιμοι, καὶ πολεμίων ἐχθροί, ταῖς ἱκεσίαις ὑμῶν Ἅγιοι Μάρτυρες, πρεσβεύσατε εἰρήνην, καὶ κακῶν ἀπαλλαγὴν δοθῆναι πᾶσιν ἡμῖν.

Νυκτομαχούσης Ἅγιοι, τῆς Ἐκκλησίας Χριστοῦ, ὡς φαεινοὶ τοῖς ἐν γῇ φωστῆρες ὤφθητε, τὴν νύκτα τῆς ἀγνοίας, ἀπελαύνοντες τῇ αἴγλῃ τῶν θαυμάτων ὑμῶν.

Ἀθλητικοὶ τὸ φρόνημα, καὶ τὴν ἀνδρείαν στεῤῥοί, καὶ ῥωμαλέοι τὴν γνώμην ἀνεδείχθητε, ἐν μέσῳ τῶν ἀγώνων, ἀξιύμνητοι Χριστοῦ Μεγαλομάρτυρες.

Τίτου καὶ Κάρπου κλήματα, ὤφθητε Μάρτυρες, ὡς ἐκ τῆς Παύλου φυτείας ἀναθήλαντες, καρποὺς ὁμολογίας, ἐκ χειλέων τῷ Χριστῷ προσανενέγκαντες.

Λαμπαδηφόροι δράμετε, Μάρτυρες δέκα Χριστοῦ· τὸν γὰρ νυμφῶνα αὐτοῦ ὑμῖν ἀνέῳγε, καὶ δεῦρο εἰσελθόντες, τὰ βραβεῖα παρ' αὐτοῦ τῆς νίκης δέξασθε.

Τριαδικόν.

Τριὰς Ἁγία δόξα σοι, εἰς τοὺς αἰῶνας ἀμήν, ἡ νικηφόρους Ἁγίους ἀναδείξασα, τῆς Κρήτης ὑπερμάχους, οὓς ἐθρέψατο καλῶς ἡ Ἐκκλησία σου.

Θεοτοκίον.

Ἐν Βηθλεὲμ ἀνέτειλε, Χριστὸς ἡ πάντων αὐγή, ἐκ τῆς Παρθένου Μητρός, λάμψας τῷ κόσμῳ τὸ φῶς· καὶ ὥσπερ ἐν ἡμέρᾳ, καταλάμπει τοῖς πιστοῖς, ὡς τοῖς Μάγοις ἀστήρ.

Κανὼν δεύτερος. Θεὸς ὢν εἰρήνης.

Κοσμῆσαι τὴν ἄκοσμον φύσιν βροτῶν, βουληθεὶς ὁ κοσμήτωρ τῆς κτίσεως, ἐν κόσμῳ παραγίνεται, τῷ ξένῳ τοκετῷ· κοσμήσωμεν καρδίας, καλῶν ἐν εὐκοσμίᾳ, καὶ δεξώμεθα τοῦτον, τὰς κοσμικὰς ἡδονὰς φεύγοντες.

Λαμπτῆρες ὥσπερ ἐξ Ἑῴας φαιδροί, ἐξανίσχουσι κόσμον φωτίζοντες, τῆς Κρήτης οἱ περίβλεπτοι, καὶ μέγιστοι πυρσοί, τῆς πίστεως τῇ θάλψει, τῆς πλάνης τὸ ζοφῶδες, διαλύσαντες ἅμα· οὓς ἐπαξίως μακαρίσωμεν.

Μυρίσαι τὸν κόσμον προέρχεται νῦν, τὸ ἀκένωτον μύρον κενούμενον, ἐκ Κόρης ὡς ηὐδόκησε, Παρθένου μυστικῶς, καὶ τούτου τῇ προόδῳ, ὡς ἄνθη μυρωδοῦντα, τὰ τῆς Κρήτης στελέχη, μαρτυρικὴν ὀσμὴν προδείκνυσιν.

Θεοτοκίον.

Ῥομφαίαν ἐπὶ τῶν μηρῶν Δυνατέ, ἐζωσμένος τῇ σῇ ὡραιότητι, ἐκ Κόρης σωματούμενος, ἐφίστασαι ἑλεῖν, τὴν σὴν κληρονομίαν, ἐκ χειρὸς τῶν ἐχθρῶν σου, ἀνελεῖν τε τὸν πλάνον, καὶ βασιλεῦσαι ἐπὶ πάντας ἡμᾶς.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

Μάγοι τὰ δῶρά σοι προσῆγον, οἱ δὲ Μάρτυρες τὰ αἵματα, τῷ γεννηθέντι ἐπὶ γῆς, ἐκ Παρθένου ἐν τῇ πόλει Δαυΐδ, καὶ πάσχοντες ἐβόων· Σῶσον Σωτήρ, ὡς ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην.

Κυμαινομένης ὡς θαλάσσης, κατὰ τῆς ὁμολογίας ἡμῶν, τῆς τυραννίδος τοῦ ἐχθροῦ, ὡς φι-

www.tezaurliturgic.ro



λεύδιοι λιμένες αὐτῇ, ἐπέστησαν ἀθρόως οἱ Ἀθληταί, ὡς ναῦν τὴν πίστιν αὐτῶν συναιροῦντες.

Ἡ Θεοδούλου παῤῥησία, τὴν ὁμόζηλον ἀνδρείαν, τῶν συνομίλων Ἀθλητῶν, στεῤῥοτέραν ἀπειργάσατο· διὸ καὶ ἀνεβόων· Σῶσον Σωτήρ, ὡς ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην.

Κρήτη τῶν νήσων ἡ μεγίστη, Ὀρθοδόξων ἡ εὐγένεια, φυτεία Τίτου ἐν Χριστῷ, ἀρδευθεῖσα ὑπὸ Παύλου τὸ πρίν, ἀξίως μακαρίζει, δέκα φαιδροὺς ἀστέρας, λαμπαδουχοῦντας τὴν κτίσιν.

Καθάπερ ἄνθη τοῦ πεδίου, καὶ ὡς κρίνα τῶν κοιλάδων, τῶν Ἀθλοφόρων ἡ δεκάς, μυστικῶς εὐωδιάζουσα, ὀσμὴ γίνονται μύρου, καὶ εἰς ὀσμήν, γνωρίζονται, τῶν Χριστοῦ ἀρωμάτων.

Τριαδικόν.

Ὡς ἐν τριάδι τρισσουμένη, καὶ μονάδι πληρουμένη, τῶν Ἀθλοφόρων ἡ δεκάς, δυσωπεῖ σε Παναγία Τριάς· εἰρήνευσον τὸν κόσμον, θραῦσον ἐχθρῶν, Ἀγαρηνῶν, τὴν ὀφρὺν ἐπαρθεῖσαν.

Θεοτοκίον.

Ἐν Βηθλεὲμ ἀστὴρ ἐφάνη, ὁδηγῶν τοὺς ἐκ Περσίδος, δῶρα κομίζοντας Χριστῷ, τῷ τεχθέντι ἐκ Παρθένου Μητρός· αὐτὸν πᾶσα ἡ κτίσις, καὶ προσκυνεῖ καὶ ὡς Θεόν, ἀνυμνεῖ καὶ δοξάζει.

Κανὼν δεύτερος. Σπλάγχνων Ἰωνᾶν.

Νέος ἐπὶ γῆς, τεχθῆναι ἐπείγεται, ὁ πάντων ὑπάρχων, ἀρχαιότερος, ἀνακτώμενος, τὴν γηράσασαν φύσιν τοῦ πάλαι Ἀδάμ, μοχθηρίᾳ τῆς ἀρχαίας παραβάσεως· τούτῳ γηραιῷ φρονήματι, ὑπαντήσωμεν πίστει νεάζοντες.

Ξένον καὶ φρικτόν, ἀστέρος αἰσθόμενοι, Περσῶν βασιλεῖς, δρόμον ἐπείγονται, εἰς προσκύνησιν, τοῦ Ἡλίου τῆς δόξης σὺν δώροις Χριστοῦ, οὓς Μαρτύρων ἡ δεκὰς μιμησαμένη, στεῤῥῶς τούτῳ ἀντὶ σμύρνης αἵματα, καὶ χρυσοῦ καὶ λιβάνου προσήνεγκεν.

Ὅπλα σαρκικά, δεκάριθμοι Μάρτυρες, ὑμῶν τοῖς στεῤῥοῖς, ἀνδραγαθήμασιν, οὐκ ἐχρήσασθε· οὐ πρὸς αἷμα καὶ σάρκα ἡ πάλη γὰρ ἦν, πρὸς ἀρχὰς καὶ ἐξουσίας τὰς τοῦ σκότους τε· ὅθεν ὅπλοις συμφραξάμενοι, τοῖς τοῦ Πνεύματος ταύτας ὠλέσατε.

Θεοτοκίον.

Γνώμῃ πονηρᾷ, γυναίου καὶ ὄφεως, πικρᾷ συμβουλῇ, τὸν ἐκπεσόντα Ἀδάμ, πρὸς τὸ πρότερον, ἐπανάγειν ἀξίωμα ἔρχεται, γυναικὸς ἀποτικτόμενος Παρθένου Μητρός, ἵνα ἡ κατάρας πρόξενος, εὐλογίας αἰτία γενήσεται.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑωσφόρος ἔλαμψεν, ἡ τῶν Μαρτύρων, σεβασμία ἄθλησις, προκαταυγάζουσα ἡμῖν, τὸν ἐν Σπηλαίῳ τικτόμενον, ὃν ἡ Παρθένος, ἀσπόρως ἐκύησεν.

Ὁ Οἶκος. Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν.

Τὸν ἐν Σπηλαίῳ δι' ἡμᾶς, τεχθέντα ἐκ Παρθένου, Χριστὸν τὸν ζωοδότην, ποθοῦντες οἱ ὁπλῖται, χορείαν ἤγειραν φαιδρὰν κατὰ τοῦ Βελίαρ· καὶ νικήσαντες σαφῶς, εἰς γῆν αὐτὸν κατέῤῥαξαν, ἄμετρα πάλαι τοῦτον καυχώμενον· ὅθεν δαδουχοῦσι τοῖς ἐν σκότει, ὡς φωστῆρες ὑπάρχοντες τοῦ νοητοῦ Ἡλίου· ἀστὴρ μὲν γὰρ τὸ πρὶν τοῖς Μάγοις ἐπέστη, ὁδηγῶν ἐν Βηθλεέμ, πόλει Ἰούδα· οὗτοι δὲ ἡμῖν κηρύττουσιν ἐν βασάνοις, ὃν ἡ Παρθένος ἀσπόρως ἐκύησεν.

Κοντάκιον ἕτερον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἡ φωσφόρος ἔλαμψε, τῶν Ἀθλοφόρων ἑστία, καὶ ἡμᾶς τῇ σήμερον, πρὸς εὐωχίαν προτρέπει· δεῦτε οὖν ἑστιαθῶμεν σὺν τοῖς Ἁγίοις, ἅπαντες μετ' εὐφροσύνης, Χριστῷ βοῶντες· μὴ εἰς τέλος ἐπιλάθῃ, οἰκτίρμον Λόγε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ὁ Οἶκος. Τὴν Ἐδὲμ Βηθλεέμ.

Τῶν Κρητῶν οἱ πιστοί, ἅπαντες χώραν σήμερον, ὡς ἐν γῇ οὐρανόν, ἴδωμεν ἄλλον φέροντα, ἀστέρας μεγίστους, φαιδροὺς καὶ ἀστείους, τῶν Ἀθλοφόρων δέκα τὰ σώματα, τὰ ὄντως ἀγώγιμα, τὰ τὸν Βελίαρ μόνον αἰσχύναντα, καὶ τὸν δι' ἡμᾶς τεχθέντα Κύριον, ἀδήλῳ τῇ γνώμῃ τοῖς τυραννοῦσι, Θεὸν κηρύξαντας ὁμοῦ, καὶ ποιητὴν τὸν τοῦ Ἀδάμ· ὅθεν τούτων πρεσβείαις, μὴ μακρύνῃς σοι βοῶμεν, οἰκτίρμον Λόγε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Μηνολόγιον.

Τῇ ΚΓ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίων ἐνδόξων δέκα Μαρτύρων, τῶν ἐν Γορτύνῃ τῆς Κρήτης μαρτυρησάντων.

www.tezaurliturgic.ro



Στίχοι.

Τοῦ Ποιμενάρχου θρέμματα Χριστοῦ δέκα,
Εἰσηλάθη τμηθέντα μάνδρᾳ Μαρτύρων.

Εἰκάδι τῇ τριτάτῃ δέκα ἐν Κρήτῃ τάμον ἄνδρας.

Συναξάριον.

Οὗτοι ἤθλησαν ἐπὶ Δεκίου βασιλέως ἐν τῇ νήσῳ τῆς Κρήτης, οὐκ ἐκ μιᾶς πόλεως ὄντες, ἀλλ᾿ ἐκ διαφόρων τῆς χώρας μερῶν· ἀπὸ γὰρ μητροπόλεως Γορτύνης πέντε, Θεόδουλος, Σατορνῖνος, Εὔπορος, Γελάσιος καὶ Εὐνικιανός· ἀπὸ δὲ Κνωσοῦ Ζωτικός· ἀπὸ δὲ τοῦ Ἐπινείου Λεβῆνος Πόμπιος καὶ ἐκ τοῦ ἐπινείου Πανόρμου Ἀγαθόπους· ἐκ δὲ Κυδωνίας Βασιλείδης· καὶ ἀπὸ τοῦ Ἡρακλείου Εὐάρεστος. Οὗτοι παρὰ τῶν ἀπίστων τῷ τῆς Νήσου ἄρχοντι παρεδόθησαν· ὁ δὲ τῷ δημίῳ ἐπέτρεψε κατὰ τοὺς βωμοὺς τῶν εἰδώλων περιάγειν αὐτούς, καὶ μὴ θύοντας, παντοίως αἰκίζεσθαι.

Ἐπεὶ δὲ τριάκοντα ἡμέρας ὑπὸ τῶν ἀτάκτων ὑβριστῶν ἐλαυνόμενοι καὶ παιζόμενοι καὶ κατὰ γῆς ἐν κοπρίαις ἑλκόμενοι, ὕστερον, προκαθίσαντος τοῦ δικαστοῦ, ὡς ἀνένδοτον εἶχον τὸ φρόνημα καὶ τυπτόμενοι καὶ λιθολευστούμενοι καὶ κολαφιζόμενοι καὶ ἐμπτυόμενοι, ἀσφαλῶς ἐμμένοντες ἦσαν εἰς τὸ φρόνημα, στρεβλωθέντες καὶ δειναῖς ἑτέραις βασάνοις ἐξετασθέντες, τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν Σύναξις ἐν τῷ Μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου, πλησίον τῶν Πλακιδίων.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Τρεῖς Παῖδες ἐκ καμίνῳ.

Ἐφέστηκεν ἡ μνήμη, τῶν Μαρτύρων κηρύττουσα, τὴν Γενέθλιον ἡμέραν τοῦ Σωτῆρος· καὶ τῇ τούτων ἀθλήσει, προοιμιάζεται ἡμῖν, Δεσποτικὴ ἑορτή.

Μὴ κάμψαντες τὸ γόνυ, τοῖς ξοάνοις οἱ Μάρτυρες, τῶν βασάνων τῷ πυρὶ ἐπειράθησαν, εὐσεβῶς ἐκβοῶντες· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Μὴ κάμψαντες τὸ γόνυ, Ἀθλοφόροι ἀήττητοι, καὶ τὴν εἰκόνα τὴν χρυσῆν μὴ προσκυνήσαντες, τῷ πυρὶ τῶν βασάνων, ἐδοκιμάσθητε στεῤῥοί, ὡς ἐν χωνείᾳ χρυσός.

Ἐν μέσῳ τοῦ σταδίου, ἐναθλοῦντες οἱ Μάρτυρες, στεφηφόροι ὁμαδὸν συγχορεύοντες, ὡς οἱ Παῖδες ἐβόων· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς δόκιμον χρυσίον, πυρωθέντες οἱ Ἅγιοι, οὐ χωνευθέντες τῷ πυρὶ τῶν ἀφορήτων αἰκισμῶν, εὐριζοτέραν τὴν πίστιν, τὴν εἰς τὸν Κτίστην καὶ Θεόν, καθυπεδείξαντο.

Τὸ ἄφραστον σου κάλλος, οἱ ἀήττητοι Μάρτυρες, ἐπιποθήσαντες Χριστέ, πάντα ὑπέμειναν, ἵνα τῆς δόξης ἐκείνης, καὶ τῆς ἀφράστου σου χαρᾶς, ἀξιωθῶσι τυχεῖν.

Ὡς δῶρα βασιλέων, τὰς βασάνους ἡγήσασθε, καὶ πλουσίας παροχὰς τῶν διωκτῶν τὰς ἀπειλάς, στεφανηφόροι βοῶντες· μὴ προσκυνήσωμεν γλυπτά· Χριστοῦ γὰρ δοῦλοί ἐσμεν.

Τριαδικόν.

Τὴν ἄκτιστον Τριάδα, οἱ πιστοὶ προσκυνήσωμεν, τὸν Πατέρα καὶ Υἱόν, καὶ Πνεῦμα Ἅγιον, μετὰ τῶν Παίδων βοῶντες· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ποιμένες μετὰ Μάγων, τὸν ἀστέρα θεώμενοι, μετ᾿ Ἀγγέλων ἐπὶ γῆς ἀνεκήρυττον, τὸν ἐκ σοῦ γεννηθέντα, Θεογεννῆτορ Μαριάμ, διὰ τὸ σῶσαι ἡμᾶς.

Κανὼν δεύτερος. Οἱ Παῖδες εὐσεβείᾳ.

Ποιμένες μετ᾿ Ἀγγέλων, ἐν ὑψίστοις Θεῷ δόξα κράζουσι· ἐπὶ τῆς γῆς γὰρ ὁ Θεός, ἡ εἰρήνη παραγίνεται, ἐν ἀνθρώποις εὐδοκία, τοῖς βοῶσι πιστῶς· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ῥήμασι μὲν οἱ Μάγοι, τοῖς τοῦ μάντεως ἀκολουθήσαντες, δῶρα προσάγουσι Χριστῷ, τῷ Ἀστέρι ποδηγούμενοι, οἱ δὲ Μάρτυρες αὐτῷ, πίστει ἑπόμενοι· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Σωτήριοι λιμένες, τῶν ἐν ζάλῃ κοσμικῇ γενόμενοι, τῆς ἀπωλείας τὸν βυθόν, ἀποντίστως ἐπλεύσατε, καὶ πρὸς ὅρμῳ γαληνῷ, ἐγκαθωρμίσθητε· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἰδοὺ νῦν ἡ Παρθένος, ἐν γαστρὶ συλλαβοῦσα τὸν Κύριον, τεκεῖν ἐπείγεται σαρκί, ὃ Προφήτης ὡς προήγγειλεν, ἐν τῇ πόλει Βηθλεέμ, ᾧ πάντες ψάλλομεν· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Τὸν ἐν φλογὶ τοῖς Παισί.

Κατὰ ξιφῶν καὶ πυρὸς καὶ θανάτου, ἀντικατέστη ἡ δεκὰς τῶν Μαρτύρων, καὶ τὴν νίκην

www.tezaurliturgic.ro



ἤρατο κατὰ τῆς ἀσεβείας, καὶ συμβασιλεύει, τῇ Χριστοῦ βασιλείᾳ.

Νεανικῶς τὴν Χριστοῦ πανοπλίαν, ἀναλαβόντες κατὰ τῶν ἀοράτων, καὶ τοῦ κοσμοκράτορος, οἱ γενναῖοι ὁπλῖται, τοὺς ἐπινικίους, ἐπεδείξαντο ἄθλους.

Οἱ ἀῤῥαγεῖς πύργοι τῆς εὐσεβείας, καὶ τῶν ἐν ζάλῃ φερομένων λιμένες, ὑπὲρ πάσης κτίσεως ἐκτενῶς δυσωπεῖτε, ὑπὲρ τῶν βασιλέων, καὶ εἰρήνης τοῦ κόσμου.

Τῇ τοῦ Χριστοῦ πυρωθέντες ἀγάπῃ, καὶ λιπανθέντες, τῇ ἀθραύστῳ ἐλπίδι, καὶ τῇ πίστει Ἅγιοι, στομωθέντες τὴν γνώμην, ὅπλον σωτηρίας, ἐχαλκεύθητε κόσμῳ.

Τριαδικόν.

Σὺν τῷ Πατρὶ τὸν Υἱὸν προσκυνοῦμεν, καὶ Πνεῦμα Ἅγιον ἐν Τριάδι Μονάδα, σὺν Ἀγγέλοις κράζοντες, στόμασι τοῖς πηλίνοις· Δόξα ἐν ὑψίστοις, Θεῷ τῷ ἐν Τριάδι.

Θεοτοκίον.

Ὅλον ἐκ σοῦ τῆς Τριάδος τὸν ἕνα, Θεογεννήτορ θεϊκῶς συλλαβοῦσα, ἐξ Ἁγίου Πνεύματος, σαρκωθέντα τέτοκας, μείνασα Παρθένος, ὥσπερ ἧς πρὸ τοῦ τόκου.

Εἱρμὸς ἄλλος. Τὸν ἐξ ἀνάρχου Πατρός.

Στεφανηφόροι Ἀθληταί, οὐχ ἡ γῆ ὑμᾶς κατέκρυψε, μεταναστάντας, ζωῆς τῆς προσκαίρου, ἀλλ' οὐρανὸς ἐδέξατο, καὶ ἅγιοι Ἄγγελοι, προσελάβοντο ὑμᾶς, ὑμνοῦντας εὐλογοῦντας, καὶ ὑπερυψοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν στρατευσάμενον ὑμᾶς, τῷ στρατῷ τῆς ἄνω κλήσεως, καὶ πρὸς ἀγῶνας, τοὺς πρὸς τοὺς τυράννους, κράτος δωρησάμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν, σεβάσμιοι Μάρτυρες, ὑμνοῦμεν εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὲ μακαρίαν ἀληθῶς, ἐκ πασῶν τῶν γενεῶν, ὁ Χριστός, προεκλεχθεῖσαν, μητέρα Παρθένον, ἄνανδρον ἀπέδειξεν, ἀσπόρως κυήσασαν, καὶ τεκοῦσαν ἀπαθῶς· ὢ θαῦμα! ὁ ἀμήτωρ, ἐτέχθη ἀχρόνως, ἐν χρόνῳ ὁ ἀπάτωρ.

Κανὼν δεύτερος. Θαύματος ὑπερφυοῦς.

Τέλειοι τῷ ἀριθμῷ τε καὶ τῇ πίστει, τελειότεροι δὲ τῇ φρονήσει, Ἀθλοφόροι ὤφθητε· τοῖς γὰρ πλάνοις τῶν ἀρετῶν, ἐνδιαίτημα δεκάδος ἀνεδείχθητε, Τριάδος τὸν ἕνα καταγγείλαντες, ἐκ Παρθένου, σαρκὶ τῷ κόσμῳ τικτόμενον, αἵματα ὡς δῶρα αὐτῷ προσενεγκόντες.

Ὕμνοις τὴν δεκάριθμον στρατολογίαν, εὐφημήσωμεν τῶν Ἀθλοφόρων, Ζωτικὸν Θεόδουλον, Ἀγαθόπουν καὶ σὺν αὐτοῖς, Βασιλείδην τε Γελάσιον καὶ Πόμπιον, Εὐνικιανὸν καὶ Σατορνῖνον ὁμοῦ, σὺν Εὐπόρῳ, πόθῳ τιμῶντες Εὐάρεστον, καὶ ὑπερυψοῦντες αὐτοὺς εἰς τοὺς αἰῶνας.

Φανέντες ὡς ἐξ Ἑῴας ἑωσφόροι, ταῖς θαυμάτων καὶ ἄθλων ἀκτῖσι, τὴν Ἑσπέραν Ἅγιοι, δᾳδουχεῖτε πυρσοφανῶς, καταυγάζοντες τῆς γῆς πάντα τὰ πέρατα· διὸ καὶ ὑμνοῦντες ἀνεμέλπετε· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὅλην σε ταῖς ἀρεταῖς πεποικιλμένην, ὁ ἐν κάλλει ἀσύγκριτος Λόγος, εὑρηκὼς κατῴκησε, σοῦ τὴν μήτραν ἣν οὐρανῶν, πλατυτέραν Θεοτόκε ἀπειργάσατο, καὶ πρὸς τὸ ἀρχαῖον κάλλος εἵλκυσε, τοὺς βοῶντας, αὐτῷ· Ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Σὲ τὴν ἀθάνατον Κύριε πηγήν.

Οἱ νοητοὶ τοῦ Κυρίου θησαυροί, ἀνευφημείσθωσαν σήμερον, οἱ πολλοὺς ὀλβιοῦντες καὶ βλύζοντες, πιστοῖς τὰ ἰάματα, καὶ τὰ πλήθη τῶν θαυμάτων αὐτῶν.

Οἱ ἀσφαλεῖς τῶν πιστῶν προασπισταί, καὶ τῆς Τριάδος ὑπέρμαχοι, καὶ ἀπόρθητοι πύργοι τῆς Πίστεως, Χριστὸν ἱκετεύσατε, Ἀθλοφόροι τοῦ σωθῆναι ἡμᾶς.

Ὁ ἱερὸς τῶν Μαρτύρων σου χορός, ὑπὲρ ἡμῶν ἱκετεύει σε, τὴν Ἁγίαν Τριάδα δωρήσασθαι, ἡμῖν τὴν εἰρήνην σου, εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ πολλοὺς τῶν βασάνων αἰκισμούς, οἱ τῆς Τριάδος ὑπέρμαχοι, θαρσαλέοι τῇ γνώμῃ ἀπήγοντο, πρὸς σφαγὴν ἀνυμνοῦντές σε, τὸν Σωτῆ-

www.tezaurliturgic.ro



ρα καὶ Δεσπότην Θεόν.

Οἱ τὴν ζωὴν τὴν ἐν σώματι μηδέν, πρὸς τὴν ἐν πνεύματι Ἅγιοι, ἡγησάμενοι πάντα κατέλιπον, ἵνα Χριστῷ τῷ Θεῷ ἡμῶν, προσαχθῶσι δεκτὰ θύματα.

Τριαδικόν.

Φῶς καὶ Θεὸν τὸν Πατέρα προσκυνεῖν, φῶς καὶ Θεὸν τὸν Υἱὸν αὐτοῦ, φῶς Θεὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὑμνεῖν ἀνεδίδαξαν, τοὺς ἀνθρώπους οἱ Χριστοῦ Μάρτυρες.

Θεοτοκίον.

Ἡ Βηθλεὲμ προανοίγει τὴν Ἐδέμ, καὶ ὁ ἐκ σοῦ προερχόμενος, τὸν Ἀδὰμ ἀναπλάττει σαρκούμενος, ὑπερφυῶς· ὃν ἱκέτευε, Θεοτόκε τοῦ σωθῆναι ἡμᾶς.

Εἱρμὸς ἄλλος. Σὲ τὴν ἀκατάφλεκτον βάτον.

Πύργοι τῆς οἰκείας πατρίδος, καὶ ἀπόρθητον τεῖχος, τῶν Μαρτύρων ἡ δεκάς, καὶ τῆς ἄνω δόξης, κατὰ τοῦ πονηροῦ, ἰσχυροὶ ἀνεδείχθητε.

Εἴ τις τῶν Μαρτύρων τὸν ἕνα, ἢ ἑνὸς τῶν λειψάνων, θησαυρίσει ἑαυτῷ, ὡς πάντας ἔχων, οὗτος ἔσται ἀεί, ἀσφαλὴς καὶ ἀκίνδυνος.

Εἴ τις τῶν λειψάνων τῆς θήκης, τῶν Ἁγίων Μαρτύρων, προσεγγίσει τῶν πιστῶν, εὐθὺς ἐκεῖθεν, τὰς ἰάσεις ἀντλῶν, τῶν παθῶν ἀπαλλάττεται.

Θεοτοκίον.

Χαῖρε τῶν εἰς σὲ προστρεχόντων, τὸ ἀπόρθητον τεῖχος· χαῖρε εὔδιε λιμήν, τῶν σὲ σεβόντων· χαῖρε Μήτηρ Χριστοῦ, τοῦ Θεοῦ Ἀειπάρθενε.

Κανὼν δεύτερος. Μυστήριον ξένον.

Χαρήσεται πάντα τὰ ἔθνη ὡς γέγραπται, ἐν τῷ ξένῳ τόκῳ σου· πᾶσα ἡ οἰκουμένη σκιρτᾷ γάρ, νῦν προαισθομένη, τὴν σὴν ἐξ ἁγνῆς Παρθένου ἔλευσιν, καὶ σοὶ προεόρτιον ᾠδήν, προσφέρει Κύριε.

Ψαλάτωσαν πᾶσα ἡ γῆ τὰ ἐφύμνια, καὶ προσκυνησάτωσαν, γέρα καὶ ἀριστείας Μαρτύρων, τῶν δέκα λαχόντων, χορὸν ἀριθμὸν οὐ τὴν διαίρεσιν· διὸ τοῖς φρονίμοις ὁμοθυμαδόν, νυμφῶνι χαίρουσιν.

Ὡς σύστοιχοι τῆς τῶν ταλάντων δεκάδος, Χριστῷ πολυπλάσιον, κέρδος τῶν πιστευθέντων ταλάντων, φέρετε ἀθλοῦντες· διὸ ὡς πιστοὶ δοῦλοι καὶ κάλλιστοι, χαρᾶς ἠξιώθητε ἐν ᾗ, καὶ ἡμῶν μέμνησθε.

Θεοτοκίον.

Ὑμνήσατε Ἄγγελοι Ποιμένες ᾄσατε, Μάγοι προσκυνήσατε· πάντες τὸν προεόρτιον ὕμνον, ἐνέγκατε δῶρον, Χριστῷ ἐκ Παρθένου ἀνατείλαντι, ἐν γῇ καὶ φωτίζοντι ψυχάς, τῶν ἀνυμνούντων αὐτόν.

Καταβασία. Μυστήριον ξένον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Σὺν Θεοδούλῳ στέψωμεν, Ζωτικὸν Ἀγαθόπουν, καὶ Σατορνῖνον Πόμπιον, ἅμα Εὐνικιανῷ, τὸν ἔνδοξον Βασιλείδην, Εὔπορόν τε τὸν θεῖον, καὶ τὸν κλεινὸν Γελάσιον, καὶ Εὐάρεστον ὕμνοις, χαρμονικῶς, ταῖς πρεσβείαις τούτων, ὅπως ῥυσθῶμεν, πταισμάτων καὶ στεφθείημεν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

Ἕτερον. Ὅμοιον.
Κυρίλλου Ἱερομονάχου.

Κρήτης ἐδάφους σήμερον, τοὺς ἐμψύχους λιμένας, τοὺς τῆς πατρίδος φύλακας, πύργους θεοπαγεῖς τε, τοὺς δυνατοὺς ὑπερμάχους, τῶν θερμῶς προσιόντων, τῶν πίστει τε εὐχομένων, τοὺς ταχεῖς ὑπηκόους, καὶ ἀψευδεῖς, ἐπικούρους πάντων τῶν δεομένων, τοὺς δέκα εὐφημήσωμεν, τοῦ Χριστοῦ Ἀθλοφόρους.

Προεόρτιον. Ὅμοιον.

Οἱ ἀρετὴν ἀσκήσαντες, καὶ νεκρῶσαι τὰ πάθη, ἐν ἐγκρατείᾳ σπεύσαντες, ὥσπερ τρίυλον δῶρον, μετὰ Ποιμένων καὶ Μάγων, πρᾶξιν ἐπαινουμένην, καὶ θεωρίαν εὔστοχον, νῦν προσάξωμεν πίστει, τῷ ἐν σαρκί, γεννηθῆναι ἥκοντι ἐκ Παρθένου, Θεῷ τῷ εὐδοκήσαντι, τὴν ἡμῶν σωτηρίαν.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀνυμνείσθω Εὐάρεστος, Ζωτικός τε καὶ Πόμπιος, Βασιλείδης Εὔπορος Ἀγαθόπους τε, καὶ Σατορνῖνος Γελάσιος, καὶ θεῖος Θεόδουλος, μεθ᾽

www.tezaurliturgic.ro



ὧν Εὐνικιανός, εὐφημείσθωσαν ᾄσμασιν, οἱ πολύαθλοι, οἱ τῆς Κρήτης προστάται καὶ γενναῖοι, ἀντιλήπτορες τῶν πόθῳ, ἐπιτελούντων τὴν μνήμην αὐτῶν.

Ὡς καλῶς στρατευσάμενοι, Βασιλεῖ τῶν δυνάμεων, ἑαυτοὺς πολύαθλοι παρεδώκατε, ἐθελουσίως εἰς μάστιγας, καὶ βίαιον θάνατον, καὶ στρεβλώσεις καὶ δεσμά, τὰ τῆς Κρήτης βλαστήματα· ὅθεν εὕρατε, τὸ μακάριον τέλος καὶ στεφάνους, ἀνεδήσασθε τῆς νίκης, ὑπὲρ ἡμῶν ἱκετεύοντες.

Ἀνενδότως τυπτόμενοι, καὶ βωμοῖς ἀπαγόμενοι, καὶ ποικίλοις εἴδεσιν ἐταζόμενοι, καὶ ἐν ὁδοῖς ἐλαυνόμενοι, εἱρκτῇ συγκλειόμενοι, καὶ ὡς ῥόδα καθαρά, ταῖς κοπρίαις ῥιπτόμενοι, προσηνέχθητε, δι᾽ ἡμᾶς τῷ τυθέντι ὡς εὐώδη, ἱερεῖα ἐν τῇ ἄνω, τραπέζῃ Μάρτυρες ἔνδοξοι.

Καὶ τυπτόμενοι Μάρτυρες, καὶ προσώποις πτυόμενοι, κεφαλὰς τεμνόμενοι καὶ στρεβλούμενοι, καὶ πάσαις ἄλλαις κολάσεσι, καθυποβαλόμενοι, οὐκ ἠρνήσασθε Χριστόν, οὐ ξοάνοις ἐθύσατε, ἀλλὰ χαίροντες, ἐκ ζωῆς τῆς προσκαίρου Ἀθλοφόροι, πρὸς οὐράνιον καὶ θείαν, μετεβιβάσθητε εὔκλειαν.

Δόξα Πατρί. Ἦχος γ΄.
Τοῦ Στουδίτου.

Γενναῖοι Μάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία τυραννική, οὐ θωπεία ἀπατηλή, οὐ μελῶν ἐκκοπαί, οὐδὲ θανάτου ἀπειλαί, τῆς πρὸς τὸ Θεῖον ἀγάπης, χωρίσαι δεδύνηνται· διὸ παῤῥησίαν ἔχοντες, πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεόν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων αἰτήσασθε, παρὰ Χριστοῦ λαβεῖν, εὐχαῖς ὑμῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ἦχος πλ. δ΄.
Ἀνατολίου.

Ἐν Βηθλεὲμ γεννᾶται, ὁ τοῦ παντὸς Ποιητής, καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ πρὸ αἰώνων Βασιλεύς· ἡ φλογίνη ῥομφαία, τὰ νῶτα δίδωσι· τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται· αἱ οὐράνιαι Δυνάμεις, σὺν τοῖς ἐπὶ γῆς ἀναμίγνυνται. Ἄγγελοι σὺν τοῖς ἀνθρώποις, κραταιὰν πανήγυριν συγκροτοῦσιν. Οἱ καθαροὶ τῷ καθαρῷ προσενεχθέντες, ἴδωμεν τὴν Παρθένον, ὡς θρόνον δόξης Χερουβικόν, χωρήσασαν τὸν μηδαμοῦ χωρούμενον Θεόν, καὶ βαστάζουσαν, ὃν τὰ Χερουβὶμ μετὰ φόβου βαστάζουσιν· ὅπως παράσχῃ τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ θ΄ Μαρτίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

Μεγαλυνάρια.
Κυρίλλου Ἱερομονάχου.

Χαίροις θεηγόρος παρεμβολή, ἄθροισμα γενναῖον, συναυλία μαρτυρική, δῆμος θεοφόρος, δεκάριθμος χορεία, τῶν δέκα Ἀθλοφόρων, τοῦ Παντοκράτορος.

Τοὺς ἐν Κρήτῃ Μάρτυρας τοῦ Χριστοῦ, τοὺς ἀκαθαιρέτους, τῆς πατρίδος προασπιστάς, τῆς ἐνεγκαμένης, ἐδάφους τοὺς λιμένας, τοὺς δέκα στεφανίτας, ἀνευφημήσωμεν.

Εὔπορον Θεόδουλον Ζωτικόν, Πόμπιον τὸν θεῖον, Ἀγαθόπουν, Εὐνικιανόν, σὺν τῷ Σατορνίνῳ, Εὐάρεστον τιμῶμεν, μεθ᾽ ὧν τε Βασιλείδην, καὶ τὸν Γελάσιον.

*Δίστιχον.*

*Μάρτυρες Χριστοῦ δέκα τροπαιοφόροι*
*Κύριλλον ἀεὶ εὐχαῖς ὑμῶν φρουρεῖτε.*